176. TRIAL BEFORE THE JEWISH AUTHORITIES (Mk-Lk Identical)

| Mark 14:53-72 | Luke 22:54-71 |
|---|---|
| *Καὶ* | *Συλλαβόντες δὲ* |
| *ἀπήγαγον τὸν Ἰησοῦν* | *αὐτὸν ἤγαγον καὶ εἰσήγαγον* |
| *πρὸς τὸν ἀρχιερέα,* | *εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως·* |
| *καὶ συνέρχονται πάντες* | |
| *οἱ ἀρχιερεῖς* | |
| | |
| *καὶ οἱ πρεσβύτεροι* | |
| *καὶ οἱ γραμματεῖς.* | |
| | |
| *54 καὶ ὁ Πέτρος* | *ὁ δὲ Πέτρος* |
| *ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ* | *ἠκολούθει μακρόθεν.* |
| | *55 περιαψάντων δὲ πῦρ* |
| *ἕως ἔσω εἰς τὴν αὐλὴν* | *ἐν μέσῳ τῆς αὐλῆς* |
| *τοῦ ἀρχιερέως,* | |
| | *καὶ συγκαθισάντων* |
| *καὶ ἦν συγκαθήμενος* | *ἐκάθητο ὁ Πέτρος* |
| *μετὰ τῶν ὑπηρετῶν* | *μέσος αὐτῶν* |
| *καὶ θερμαινόμενος πρὸς τὸ φῶς.* | |
| | |
| *55 οἱ δὲ ἀρχιερεῖς* | |
| *καὶ ὅλον τὸ συνέδριον ἐζήτουν* | |
| *κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν* | |
| *εἰς τὸ θανατῶσαι αὐτόν,* | |
| *καὶ οὐχ ηὕρισκον·* | |
| *56 πολλοὶ γὰρ* | |
| *ἐψευδομαρτύρουν κατ αὐτοῦ,* | |
| *καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν.* | |
| *57 καί τινες ἀναστάντες* | |
| *ἐψευδομαρτύρουν κατ αὐτοῦ* | |
| *λέγοντες 58 ὅτι* | |
| *῾ημεῖς ἠκούσαμεν* | |
| *αὐτοῦ λέγοντος ὅτι* | |
| *Ἐγὼ καταλύσω τὸν ναὸν* | |
| *τοῦτον* | |
| *τὸν χειροποίητον* | |
| *καὶ διὰ τριῶν ἡμερῶν* | |
| *ἄλλον ἀχειροποίητον* | |

*οἰκοδομήσω·*

*59 καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν.*

*60 καὶ ἀναστὰς ὁ ἀρχιερεὺς*

*εἰς μέσον*

*ἐπηρώτησεν τὸν Ἰησοῦν λέγων,*

*Οὐκ ἀποκρίνῃ οὐδέν*

*τί οὗτοί σου καταμαρτυροῦσιν*

*61 ὁ δὲ ἐσιώπα*

*καὶ οὐκ ἀπεκρίνατο οὐδέν.*

*πάλιν*

*ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν*

*καὶ λέγει αὐτῷ,*

*Σὺ εἶ ὁ Χριστὸς*

*ὁ υἱὸς τοῦ εὐλογητοῦ*

*62 ὁ δὲ Ἰησοῦς εἶπεν,*

*Ἐγώ εἰμι,*

*καὶ ὄψεσθε*

*τὸν υἱὸν τοῦ ἀνθρώπου*

*ἐκ δεξιῶν καθήμενον τῆς δυνάμεως*

*καὶ ἐρχόμενον*

*μετὰ τῶν νεφελῶν*

*τοῦ οὐρανοῦ.*

*63 ὁ δὲ ἀρχιερεὺς*

*διαρρήξας τοὺς χιτῶνας αὐτοῦ*

*λέγει,*

*Τί ἔτι χρείαν ἔχομεν μαρτύρων*

*64 ἠκούσατε τῆς βλασφημίας·*

*τί ὑμῖν φαίνεται*

*οἱ δὲ πάντες κατέκριναν αὐτὸν*

*ἔνοχον εἶναι θανάτου.*

*65 Καὶ ἤρξαντό τινες*

*ἐμπτύειν αὐτῷ*

*καὶ περικαλύπτειν αὐτοῦ τὸ πρόσωπον*

*καὶ κολαφίζειν αὐτὸν*

*καὶ λέγειν αὐτῷ,*

*Προφήτευσον,*

| | |
|---|---|
| *καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔλαβον.* | |
| *66 Καὶ ὄντος τοῦ Πέτρου* | |
| *κάτω ἐν τῇ αὐλῇ* | |
| *ἔρχεται μία* | |
| *τῶν παιδισκῶν τοῦ ἀρχιερέως,* | |
| *67 καὶ ἰδοῦσα τὸν Πέτρον* | *56 ἰδοῦσα δὲ αὐτὸν* |
| | *παιδίσκη τις* |
| *θερμαινόμενον* | *καθήμενον πρὸς τὸ φῶς* |
| *ἐμβλέψασα αὐτῷ λέγει,* | *καὶ ἀτενίσασα αὐτῷ εἶπεν,* |
| *Καὶ σὺ* | *Καὶ οὗτος* |
| *μετὰ τοῦ Ναζαρηνοῦ ἦσθα* | *σὺν αὐτῷ ἦν·* |
| *τοῦ Ἰησοῦ.* | |
| *68 ὁ δὲ ἠρνήσατο* | *57 ὁ δὲ ἠρνήσατο* |
| *λέγων,* | *λέγων,* |
| *Οὔτε οἶδα οὔτε ἐπίσταμαι* | *Οὐκ οἶδα αὐτόν, γύναι.* |
| *σὺ τί λέγεις.* | |
| *καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον* | *58 καὶ μετὰ βραχὺ* |
| *καὶ ἀλέκτωρ ἐφώνησεν.* | |
| *69 καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν* | *ἕτερος ἰδὼν αὐτὸν* |
| *ἤρξατο πάλιν λέγειν* | *ἔφη,* |
| *τοῖς παρεστῶσιν ὅτι* | |
| *Οὗτος ἐξ αὐτῶν ἐστιν.* | *Καὶ σὺ ἐξ αὐτῶν εἶ·* |
| *70 ὁ δὲ πάλιν ἠρνεῖτο.* | *ὁ δὲ Πέτρος ἔφη, ῎* |
| | *Ανθρωπε, οὐκ εἰμί.* |
| *καὶ μετὰ μικρὸν πάλιν* | *59 καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς* |
| *οἱ παρεστῶτες* | *ἄλλος τις διϊσχυρίζετο λέγων,* |
| *ἔλεγον τῷ Πέτρῳ,* | |
| *Ἀληθῶς* | *Ἐπ ἀληθείας καὶ οὗτος* |
| *ἐξ αὐτῶν εἶ,* | *μετ αὐτοῦ ἦν,* |
| *καὶ γὰρ Γαλιλαῖος εἶ.* | *καὶ γὰρ Γαλιλαῖός ἐστιν·* |
| *71 ὁ δὲ ἤρξατο ἀναθεματίζειν* | *60 εἶπεν δὲ ὁ Πέτρος,* |
| *καὶ ὀμνύναι ὅτι* | |
| *Οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον* | *῎Ανθρωπε, οὐκ οἶδα* |
| *ὃν λέγετε.* | *ὃ λέγεις.* |
| *72 καὶ εὐθὺς* | *καὶ παραχρῆμα* |
| *ἐκ δευτέρου* | *ἔτι λαλοῦντος αὐτοῦ* |
| *ἀλέκτωρ ἐφώνησεν.* | *ἐφώνησεν ἀλέκτωρ.* |
| | *61 καὶ στραφεὶς ὁ κύριος* |
| | *ἐνέβλεψεν τῷ Πέτρῳ,* |

| | |
|---|---|
| καὶ ἀνεμνήσθη ὁ Πέτρος | καὶ ὑπεμνήσθη ὁ Πέτρος |
| τὸ ῥῆμα | τοῦ ῥήματος τοῦ κυρίου |
| ὡς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι | ὡς εἶπεν αὐτῷ ὅτι |
| Πρὶν ἀλέκτορα φωνῆσαι δὶς | Πρὶν ἀλέκτορα φωνῆσαι σήμερον |
| τρίς με ἀπαρνήσῃ· | ἀπαρνήσῃ με τρίς· |
| καὶ ἐπιβαλὼν | 62 καὶ ἐξελθὼν ἔξω |
| ἔκλαιεν. | ἔκλαυσεν πικρῶς. |
| | 63 Καὶ οἱ ἄνδρες οἱ συνέχοντες αὐτὸν ἐνέπαιζον αὐτῷ δέροντες, 64 καὶ περικαλύψαντες αὐτὸν ἐπηρώτων λέγοντες, Προφήτευσον, τίς ἐστιν ὁ παίσας σε |
| | 65 καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν. |
| | 66 Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν, |
| | 67 λέγοντες, Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὸν ἡμῖν. εἶπεν δὲ αὐτοῖς, |
| | Ἐὰν ὑμῖν εἴπω οὐ μὴ πιστεύσητε· 68 ἐὰν δὲ ἐρωτήσω οὐ μὴ ἀποκριθῆτε. |
| | 69 ἀπὸ τοῦ νῦν δὲ ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ. |
| | 70 εἶπαν δὲ πάντες, Σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ ὁ δὲ πρὸς αὐτοὺς ἔφη, Ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι. |
| | 71 οἱ δὲ εἶπαν, Τί ἔτι ἔχομεν μαρτυρίας χρείαν αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ. |

82 matches out of 631 words = 13%